eul_wid: joc-aa

*Μακεδόνιος ὁ Λυρικός* · Macedonius the Lyric Poet

# Paean to Apollo and Aesculapius

*Παιὰν πρὸς Ἀπόλλωνα καὶ Ἀσκληπιόν*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

Δήλιον εὐφαρέτρα[ν ἑκατηβόλον] εὔφρονι θυμῷ
εὐφημ[εῖτε, φέροντες, ἰὴ ἰέ, ὢ ἰὲ Παιάν,]
ἱκτῆρ[α] κλάδον ἐν παλά[μαις, Διὸς] ἀ[γλ]αὸν ἔρνος,
κοῦροι Ἀθη[ναίων, ἰὴ ἰέ, ὢ ἰὲ Παιάν,]
..υ..αμε.....ος ὕμνος ἀεί[δ....]
κλυτόν, ἤπ[ι]ον υ[.....]
[ἰὴ Παιάν,]
ἐπιτάρροθον ὅν π[οτε γεί]νατο νούσω[ν]
[μήτηρ ἠδὲ] δύης Ἀσκληπιὸν εὔφ[ρονα] κοῦρον,
[ἰὴ Παιάν.]
Τὸν δ’ ἀνὰ Πηλιάδας κορυφὰς ἐδίδαξε [τέ]χνη[ν τε]
[καὶ σο]φίαν Κένταυρος ἀλεξίπονον μερόπεσσιν,
[ἰὴ Παιάν,]
παῖδα Κορωνίδος, ἤπιον ἀν[δ]ράσι,
δαίμονα σεμνότα[τον.]
[ἰὴ Παιάν·]
Τοῦ δ’ ἐγένοντο κό[ρ]οι Ποδαλείριος ἠδὲ Μαχάων,
Ἕλλη[σιν κοσμήτορε] λόγχης,
ἰὴ Παιάν,
ἠδ’ Ἰασὼ Ἀκεσώ τε καὶ Αἴγλη καὶ Πανάκεια,
Ἠπιόνης [θύγατρες σὺν] ἀριπρέπτῳ Ὑγιείᾳ,
ἰὴ Παιάν.
Χαῖρε, βροτοῖς μέγ’ ὄνειαρ,
δαῖμον κλεινότατε, ὢ [ἰὲ Παιάν,]
Ἀσκληπιέ, σὴν δὲ δίδου σοφίαν ὑμνοῦντας ἐς αἰ[εὶ]

[θ]άλλειν ἐν βιοτῇ σὺν τερπνοτάτῃ Ὑγιείᾳ,
ἰὴ Παιά[ν]·
σῴζοις δ’ Ἀτθίδα Κεκροπίαν πόλιν
αἰὲν ἐπερχόμ[εν]ος,
ἰὲ Παιάν.
Ἤπιος ἔσσο, μάκαρ, στυγερὰς δ’ ἀπερύκεο νούσους,
[ἰὴ] ἰέ, ὢ ἰ[ὲ] Παιάν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org